εἰς τὸν θάνατον καὶ εἰς τὸν λιμὸν καὶ δώσω ὑμᾶς εἰς διασπορὰν
πάσαις ταῖς βασιλείαις τῆς γῆς. [18]καὶ δώσω τοὺς ἄνδρας τοὺς 18
παρεληλυθότας τὴν διαθήκην μου τοὺς μὴ στήσαντας τὴν διαθήκην
μου, ἣν ἐποίησαν κατὰ πρόσωπόν μου, τὸν μόσχον ὃν ἐποίησαν
ἐργάζεσθαι αὐτῷ, [19]τοὺς ἄρχοντας Ιουδα καὶ τοὺς δυνάστας καὶ 19
τοὺς ἱερεῖς καὶ τὸν λαόν, [20]καὶ δώσω αὐτοὺς τοῖς ἐχθροῖς αὐτῶν, 20
καὶ ἔσται τὰ θνησιμαῖα αὐτῶν βρῶσις τοῖς πετεινοῖς τοῦ οὐρανοῦ
καὶ τοῖς θηρίοις τῆς γῆς. [21]καὶ τὸν Σεδεκιαν βασιλέα τῆς Ιουδαίας 21
καὶ τοὺς ἄρχοντας αὐτῶν δώσω εἰς χεῖρας ἐχθρῶν αὐτῶν, καὶ δύ-
ναμις βασιλέως Βαβυλῶνος τοῖς ἀποτρέχουσιν ἀπ᾽ αὐτῶν. [22]ἰδοὺ 22
ἐγὼ συντάσσω, φησὶν κύριος, καὶ ἐπιστρέψω αὐτοὺς εἰς τὴν γῆν
ταύτην, καὶ πολεμήσουσιν ἐπ᾽ αὐτὴν καὶ λήμψονται αὐτὴν καὶ κατα-
καύσουσιν αὐτὴν ἐν πυρὶ καὶ τὰς πόλεις Ιουδα, καὶ δώσω αὐτὰς
ἐρήμους ἀπὸ κατοικούντων.

[1]Ὁ λόγος ὁ γενόμενος πρὸς Ιερεμιαν παρὰ κυρίου ἐν ἡμέραις 42
Ιωακιμ βασιλέως Ιουδα λέγων [2]Βάδισον εἰς οἶκον Αρχαβιν καὶ ἄξεις 2
αὐτοὺς εἰς οἶκον κυρίου εἰς μίαν τῶν αὐλῶν καὶ ποτιεῖς αὐτοὺς
οἶνον. [3]καὶ ἐξήγαγον τὸν Ιεζονιαν υἱὸν Ιερεμιν υἱοῦ Χαβασιν καὶ 3
τοὺς ἀδελφοὺς αὐτοῦ καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ πᾶσαν τὴν οἰκίαν
Αρχαβιν [4]καὶ εἰσήγαγον αὐτοὺς εἰς οἶκον κυρίου εἰς τὸ παστοφό- 4
ριον υἱῶν Ανανιου υἱοῦ Γοδολιου ἀνθρώπου τοῦ θεοῦ, ὅ ἐστιν
ἐγγὺς τοῦ οἴκου τῶν ἀρχόντων τῶν ἐπάνω τοῦ οἴκου Μαασαιου
υἱοῦ Σελωμ τοῦ φυλάσσοντος τὴν αὐλήν, [5]καὶ ἔδωκα κατὰ πρόσ- 5
ωπον αὐτῶν κεράμιον οἴνου καὶ ποτήρια καὶ εἶπα Πίετε οἶνον.
[6]καὶ εἶπαν Οὐ μὴ πίωμεν οἶνον, ὅτι Ιωναδαβ υἱὸς Ρηχαβ ὁ πατὴρ 6
ἡμῶν ἐνετείλατο ἡμῖν λέγων Οὐ μὴ πίητε οἶνον, ὑμεῖς καὶ οἱ υἱοὶ
ὑμῶν ἕως αἰῶνος, [7]καὶ οἰκίαν οὐ μὴ οἰκοδομήσητε καὶ σπέρμα οὐ 7
μὴ σπείρητε, καὶ ἀμπελὼν οὐκ ἔσται ὑμῖν, ὅτι ἐν σκηναῖς οἰκήσετε

18 διαθηκην μου 1⁰ ⌒ 2⁰ S*A | ον > S† || 20 βρωσις] βρωματα A || 21 της ιουδαιας] ιουδα AC† | εχθρων] pr. των S† | δυναμις ... τοις αποτρεχουσιν] -μεις ... οι -χοντες A || 22 αυτην 1⁰] -τους A† | και ult. > A | αυτας] -τους S† | ερημους] εις αβατον A

42 (𝔐 35) 1 προς ιερ. / παρα κυρ.] tr. A†: cf. 41 1 | ιωακ(ε)ιμ] + υιου ιωσιου A pl. (sim. etiam B*?), sed genetiuus in BSA fere ubique est ιωσ(ε)ια, cf. 1 2 || 2 βαδ.] πορευθητι A | οικον 1⁰] οικιαν S | αρχαβ(ε)ιν] αλχ. A†: cf. 3; + και καλεσον αυτους A: cf. 𝔐 | αξεις] pr. εξ A† || 3 εξηγαγον] εξ > A pl. | ιεζονιαν Q mu.] ιεχον. BSA: cf. Ez. 8 11 11 1 | ιερεμιου A | αρχαβ(ε)ιν] χαραβειν A†: cf. 2 || 4 υιων(> A†) ανανιου υιου γοδολιου] υιων ιωναν υιου ανανιου υιου γοδ. B†, υιων ανναν υιου αν(+ν S*†)ανιου S† | ο QC] ος BSAL | του οικου των] του > Q, οικουντων A† | των ult. > S*A: post αρχοντων | μασαιου A, μασεου S*†: cf. 21 1 | σελωμ] αιλ. S*† | αυλην] οδον Sᶜ || 5 εδωκα] εστησα A || 6 ου μη πιω(uel ο)μεν] ου πιομεν (sic) A† | υιος ρηχαβ > S*†: cf. 18 | λεγων] ειπας A || 7 οικιας A | οικησετε BS†] pr. κατ rel.